UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

# Eusebiu Tu Pamphilu Ekklēsiastikē Istoria

**Eusebius <Caesariensis>**

**Mogvntiae, 1672**

XVII. De Imperatorum palinodia.

urn:nbn:de:hbz:466:1-14478

Visual Library

γίνεται αὐτῷ· εἶθ' ἕλκος ἐν βάθει συριγγῶδες, καὶ τούτων ἀνίατος νομὴ κατὰ τῶν ἐνδοτάτω σπλάγχνων· ἀφ' ὧν ἄλεκτόν τι πλῆθος σκωλήκων βρύειν, θανατώδη τε ὀδμὴν ἀποπνέειν, τοῦ παντὸς ὄγκου τῶν σωμάτων ἐκ πολυτροφίας αὐτῷ καὶ πρὸ τῆς νόσου εἰς ὑπερβολὴν πλήθους πιμελῆς μεταβεβληκότος, ἣν τότε κατασαπεῖσαν, ἀφόρητον καὶ φρικτοτάτην τοῖς πλησιάζουσι παρέχειν τὴν θέαν, ἰατρῶν δ' οὖν οἱ μὲν, οὐδ' ὅλως ὑπομεῖναι τὴν τοῦ δυσώδους ὑπερβάλλουσαν ἀτοπίαν οἷοί τε, κατεσφάττοντο· οἱ δ' ᾠδηκότος τοῦ παντὸς ὄγκου καὶ εἰς ἀνέλπιστον σωτηρίας ἀποπεπτωκότος μηδὲν ἐπικουρεῖν δυνάμενοι, ἀνηλεῶς ἐκτείνοντο.

## ΚΕΦΑΛΑΙΟΝ ΙΖ'.

*Περὶ τῆς τῶν κρατούντων παλινῳδίας.*

Καὶ δὴ τοσούτοις παλαίων κακοῖς, συναίσθησιν τῶν κατὰ τῶν θεοσεβῶν αὐτῷ τετολμημένων ἴσχει. συναγαγὼν δ' οὖν εἰς ἑαυτὸν τὴν διάνοιαν, πρῶτα μὲν ἀνθωμολογεῖτο τῷ τῶν ὅλων Θεῷ· εἶτα τοὺς ἀμφ' αὐτὸν ἀνακαλέσας, μηδὲν ὑπερθεμένους τὸν κατὰ Χριστιανῶν ἀποπαῦσαι διωγμὸν, νόμῳ τε καὶ δόγματι βασιλικῷ τὰς ἐκκλησίας αὐτῶν οἰκοδομεῖν ἐπισπέρχειν τε καὶ τὰ συνήθη διαπράττεσθαι, εὐχὰς ὑπὲρ τοῦ βασιλείου ποιουμένους, προστάττει. αὐτίκα γοῦν ἔργου τῷ λόγῳ παρηκολουθηκότος, ἡπλοῦτο κατὰ πόλεις βασιλικὰ διατάγματα, τὴν παλινῳδίαν τῶν καθ' ἡμᾶς τοῦτον περιέχοντα τὸν τρόπον. Αὐτοκράτωρ Καῖσαρ Γαλέριος Οὐαλέριος Μαξιμῖνος. Ἀνίκητος, Σεβαστὸς, Ἀρχιερεὺς μέγιστος. Γερμανικὸς Μέγιστος, Αἰγυπτιακὸς Μέγιστος, Θηβαικὸς Μέγιστος, Σαρματικὸς Μέγιστος, πεντάκις Περσῶν Μέγιστος, δὶς Καρπῶν Μέγιστος, ἑξάκις Ἀρμενίων Μέγιστος, Μήδων Μέγιστος, Ἀδιαβηνῶν Μέγιστος. Δημαρχικῆς ἐξουσίας τὸ εἰκοσὸν Αὐτοκράτωρ ἐννεακαιδέκατον· ὕπατος τὸ ὄγδοον. Πατὴρ πατρίδος. Ἀνθύπατος. καὶ Αὐτοκράτωρ Καῖσαρ Φλαύιος Οὐαλέριος Κωνσταντῖνος· Εὐσεβὴς, Εὐτυχὴς, Ἀνίκητος, Σεβαστός. Ἀρχιερεὺς Μέγιστος, Δημαρχικῆς ἐξουσίας, Αὐτοκράτωρ τὸ Πέμπτον. ὕπατος, Πατὴρ πατρίδος, Ἀνθύπατος· καὶ Αὐτοκράτωρ Καῖσαρ Οὐαλέριος Λικιννιανός. Εὐσεβὴς, Εὐτυχὴς, Ἀνίκητος, Σεβαστός. Ἀρχιερεὺς

A corporis partium loca abſceſſus ei naſcitur: ulcus deinde in imo fiſtuloſum. Utriuſque inſanabilis morſus intima viſcera depaſcebatur. Ex his incredibilis vermium multitudo ſcaturiens, lethalem exhalabat fœtorem. Quippe illi etiam ante hunc morbum, tota corporis moles ob nimiam alimenti copiam in immenſam quandam pinguedinem excreverat: quæ tunc temporis in tabem ſoluta, horrendum & intolerabile ſpectaculum adſtantibus præbebat. Ex medicis verò, alii quidem cùm nec ipſam odoris gravitatem ſuſtinere poſſent, interficiebantur: alii cùm nullum reme-
B dium afferre poſſent, utpotè tota corporis mole tumefacta, nec ulla jam ſpe ſalutis relicta; ob idipſum crudeliter necabantur.

## Caput XVII.

*De Imperatorum palinodia.*

Tandem verò adverſus tot ærumnas conflictans, intelligere cœpit quæ in cultores Dei admiſerat ſcelera. Totâque mentis acie in ſemetipſum converſa, primùm quidem Conditori omnium Deo errorem ſuum confeſſus eſt. Convocatis deinde palatii ſui Proceribus,
C abſque ulla dilatione perſecutionem Chriſtianorum cohibere eos jubet, & Eccleſias illorum quantocius exſtruere Imperiali reſcripto præcipit, quò Chriſtiani ſacra ſua ſolito more peragere poſſent, ac pro Imperatore preces ad Deum fundere. Confeſtim igitur verba ſubſequentibus factis, per ſingulas urbes propoſita ſunt edicta, palinodiam erga nos continentia in hunc modum.

Huc refer Niceph. l. 7. c. 22. & 23.

Imperator Cæſar Galerius Valerius Maximianus Invictus, Auguſtus, Pontifex Maximus, Germanicus Maxi-
D mus, Ægyptiacus Maximus, Thebaïcus Maximus, Sarmaticus Maximus quintùm, Perſicus Maximus, ſecundò Carpicus Maximus, ſextò Armeniacus Maximus, Medicus Maximus, Adiabenicus Maximus, Tribuniciæ Poteſtatis XX. Imperator XIX. Conſul VIII. Pater patriæ, Proconſul. Et Imperator Cæſar Flavius Valerius Conſtantinus, Pius, Felix, Invictus, Auguſtus; Pontifex Maximus, Tribuniciæ Poteſtatis V. Imperator V. Conſul, Pater patriæ, Proconſul. Et Imperator Cæſar Valerius Licinianus, Pius, Felix, Invictus, Auguſtus, Pontifex

Maximus, Tribuniciæ Poteſtatis IV. Imperator III. Conſul, Pater patriæ, Proconſul: Provincialibus ſuis ſalutem: Inter cetera quæ pro utilitate communi & pro ſalute Reipublicæ quotidie diſponimus, priùs quidem volueramus juxta mores & inſtituta majorum, & juxta publicam Romanorum diſciplinam cuncta reparare. Ac præcipuè in id incubueramus, ut Chriſtiani qui parentum ſuorum ritus ac cæremonias reliquerant, ad ſaniorem ſententiam revocarentur. Tanta quippe eos arrogantia ac temeritas veluti ex conſenſu quodam invaſerat, ut majorum inſtitutis quæ fortaſſe ab ipſorum parentibus ſancita fuerant, minimè acquieſcerent: ſed ſinguli pro arbitratu ſuo ac libidine leges ſibi ipſis conſtituerent eaſque obſervarent, & in diverſis ſectis atque ſententiis diverſos cogerent cœtus. Proinde cùm nos ejuſmodi promulgaſſemus edictum, ut ipſi ad ritus & inſtituta majorum reverterentur: multi eorum graviſſimis diſcriminibus objecti; multi intentato ſuppliciorum metu, varia mortis genera pertulerunt. Cum igitur videremus pleroſque eorum in hujuſmodi amentia perſiſtentes, nec Diis immortalibus cultum debitum exhibere, nec ſacrorum Chriſtianorum cæremonias obire; pro noſtra humanitate & pro ſolemni inſtituto clementiæ noſtræ quâ univerſis hominibus veniam impertiri conſuevimus, in hoc etiam negotio libentiſſimè indulgentiam noſtram cenſuimus eſſe proferendam; ut omnes Chriſtiani ædes ſuas in quibus conventus peragebant, denuò inſtaurare poſſint, ita ut nihil contrarium diſciplinæ ſuæ deinceps facere cogantur. Peculiari autem epiſtola Judicibus ſignificabimus, quid ipſos obſervare oporteat. Quapropter ob hanc indulgentiam clementiæ noſtrę Deum ſuum precari & obſecrare eos oportet, tum pro incolumitate noſtra, tum pro Reipublicæ ſuáque ipſorum ſalute; ut & Reipublicæ ſtatus integer permaneat, & ipſi in ſuis domiciliis cum omni ſecuritate poſſint degere. Hæc ex Latina lingua in Græcum ſermonem à nobis prout potuimus tranſlata, ita ſe habent. Quę verò poſthæc ſubſecuta ſunt, nunc tempus eſt ut conſideremus.

*Finis Libri octavi Hiſtoriæ Eccleſiaſticæ.*

A Μέγιστος. δημαρχικῆς ἐξουσίας τὸ τέταρτον, αὐτοκράτωρ τὸ τρίτον, ὕπατος, πατὴρ πατρίδος, ἀνθύπατος, ἐπαρχιώταις ἰδίοις χαίρειν. μεταξὺ τῶν λοιπῶν ἅπερ ὑπὲρ τοῦ χρησίμου καὶ λυσιτελοῦς τοῖς δημοσίοις διατυπούμεθα, ἡμεῖς μὲν βεβουλήμεθα πρότερον κατὰ τοὺς ἀρχαίους νόμους καὶ τὴν δημοσίαν ἐπιστήμην τὴν τῶν Ῥωμαίων, ἅπαντα ἐπανορθώσασθαι, καὶ τούτου πρόνοιαν ποιήσασθαι, ἵνα καὶ οἱ χριστιανοὶ οἵτινες τῶν γονέων τῶν ἑαυτῶν καταλελοίπασι τὴν αἵρεσιν, εἰς ἀγαθὴν πρόθεσιν ἐπανέλθοιεν· ἐπείπερ τινὶ λογισμῷ τοσαύτη αὐτοὺς
B πλεονεξία κατεσχήκει καὶ ἄνοια κατειλήφει, ὡς μὴ ἕπεσθαι τοῖς ὑπὸ τῶν πάλαι καταδειχθεῖσιν, ἅπερ ἴσως πρότερον καὶ οἱ γονεῖς αὐτῶν ἦσαν καταστήσαντες. ἀλλὰ κατὰ τὴν αὐτῶν πρόθεσιν καὶ ὡς ἕκαστος ἐβούλετο, οὕτως ἑαυτοῖς καὶ νόμους ποιῆσαι, καὶ τούτους παραφυλάττειν, καὶ ἐν διαφόροις διάφορα πλήθη συνάγειν. τοιγαροῦν τοιούτου ὑφ' ἡμῶν προστάγματος παρακολουθήσαντος, ὥστε ἐπὶ τὰ ὑπὸ τῶν ἀρχαίων κατασταθέντα ἑαυτοὺς μεταθήσαιεν. πλεῖστοι μὲν κινδύνῳ ὑποβληθέντες, πλεῖστοι δὲ ταραχθέντες, παντοίους θανάτους ὑπέφερον· καὶ ἐπειδὴ
C τῶν πολλῶν τῇ αὐτῇ ἀπονοίᾳ διαμενόντων, ἑωρῶμεν μήτε τοῖς θεοῖς τοῖς ἐπουρανίοις τὴν ὀφειλομένην θρησκείαν προσάγειν αὐτούς, μήτε τῷ τῶν χριστιανῶν προσέχειν, ἀφορῶντες εἰς τὴν ἡμετέραν φιλανθρωπίαν καὶ τὴν διηνεκῆ συνήθειαν, δι' ἧς εἰώθαμεν ἅπασιν ἀνθρώποις συγγνώμην ἀπονέμειν, προθυμότατα καὶ ἐν τούτῳ τὴν συγχώρησιν τὴν ἡμετέραν ἐπεκτεῖναι δεῖν ἐνομίσαμεν. ἵνα αὖθις ὦσι χριστιανοὶ καὶ τοὺς οἴκους ἐν οἷς συνήγοντο συνθῶσιν οὕτως,
D ὥστε μηδὲν ὑπεναντίον τῆς ἐπιστήμης αὐτοὺς πράττειν. δι' ἑτέρας δὲ ἐπιστολῆς τοῖς δικασταῖς δηλώσομεν, τί αὐτοὺς παραφυλάξασθαι δεήσει. ὅθεν κατὰ ταύτην τὴν συγχώρησιν τὴν ἡμετέραν, ὀφείλουσι τὸν ἑαυτῶν Θεὸν ἱκετεύειν περὶ σωτηρίας τῆς ἡμετέρας, καὶ τῶν δημοσίων, καὶ τῆς ἑαυτῶν. ἵνα κατὰ πάντα τρόπον καὶ τὰ δημόσια παρασχεθῇ ὑγιῆ καὶ ἀμέριμνοι ζῆν ἐν τῇ ἑαυτῶν ἑστίᾳ δυνηθῶσι. ταῦτα κατὰ τὴν τῶν Ῥωμαίων φωνήν, ἐπὶ τὴν ἑλλάδα γλῶτταν κατὰ τὸ δυνατὸν μεταβληθέντα, τοῦτον ἔχει τὸν τρόπον. τί δὴ οὖν ἐπὶ τούτοις γίνεται, ἐπιθεωρῆσαι καιρός.

Τέλος τοῦ η΄ λόγου τῆς ἐκκλησιαστικῆς ἱστορίας.